# Παράκληση εις τον Όσιον Σάββαν τον εν Καλύμνω



Εὐλογήσαντος τοῦ ίερέως άρχόμεθα άναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ Σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου, πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ’ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρός Σέ τάς χείρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου. Μὴ ἀποστρέψῃς τό πρόσωπόν Σου ἀπ’ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τό πρωΐ τό ἔλεός Σου, ὅτι ἐπὶ Σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρός Σέ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός Σέ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τό θέλημά Σου, ὅτι Σύ εἶ ὁ Θεός μου. Τό Πνεῦμα Σου τό ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλος Σου εἰμί.

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος ἅ΄. Ἐξομολογεῖσθε τῷ Κυρίω, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. γ'. Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τὰ παρόντα Τροπάρια˙

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Ὡς κοινωνὸς τῶν ἀπ' αἰῶνος Ὁσίων, καὶ τοῦ Σωτῆρος θεοφόρος θεράπων, καὶ Καλιμνίων μέγα καταφύγιον, δίδου τὰ αἰτήματα, τοῖς πιστῶς προσιοῦσι, Σάββα Πάτερ Ὅσιε, τῷ σεπτῷ σου λειψάνῳ, καὶ τῶν πταισμάτων ἄφεσιν ἡμῖν, παρὰ Κυρίου, ἐξαίτει ἑκάστοτε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. ἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους· οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ' σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καί ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου,

ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.
«Δίδου ὦ Σάββα ἡμῖν σὴν χάριν. Γερασίμου».

ᾨδή α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Δοχεῖον τοῦ Πνεύματος ἱερόν, Σάββα θεοφόρε, τὰς δεήσεις τῶν εὐσεβῶν, δέχου πατρικῇ σου συμπαθείᾳ. καὶ πᾶσι δίδου τὴν χάριν σου Ὄσιε.

᾿Ιδού σοι προσήλθομεν εὐλαβῶς. καὶ τῶν σῶν λειψάνων προσπτυσσόμεθα τὴν σορόν, ὡς ἂν κομισώμεθα ἐκ ταύτης, ἁγιασμὸν καὶ παθῶν ἀπολύτρωσιν.

Δυνάμεις θαυμάτων ὡς ἐνεργῶν, θαυμάστωσον Πάτερ, τὴν σὴν χάριν καὶ ἐν ἐμοί, καὶ παῦσον ψυχῆς μου τὴν ὀδύνην, ὡς τοῦ Χριστοῦ μιμητὴς Σάββα Ὅσσιε.

Θεοτοκίον.
᾿Ὁλόφωτον σκήνωμα τοῦ Θεοῦ, Κεχαριτωμένη, Ἀειπάρθενε Μαριάμ, φωτὶ τῆς θερμῆς σου προστασίας, τὰ τῶν παθῶν ἡμῶν νέφη διάλυσον.

ᾨδή γ΄. Οὐρανίας ἁψῖδος.
Ὑπὸ πλήθους πταισμάτων, καταθληθεὶς γέγονα, δοῦλος τῶν παθῶν θεοφόρε, νοΐ ἀγνώμονι, ἀλλ᾽ ἢ πρεσβείᾳ σου, ἐξαγαγέτω με Πάτερ, τῆς Παρούσης θλίψεως, καθικετεύω σε.

Ὡς θερμόν σε προστάτην, καὶ βοηθὸν ἕτοιμον, ἔχει σε προνοίᾳ Κυρίου, ἡ νῆσος Κάλυμνος, διὸ καὶ κράζει σοι. ᾿Εκ πειρασμῶν καὶ κινδύνων. ἀσινῆ με φύλαττε, Σάββα μακάριε.

Στηριγμὸς κλονουμένων, ὡς ἀληθῶς πέφηνας, Πάτερ ἐν ἐσχάτοις τοῖς χρόνοις, ἐν θείῳ Πνεύματι· διὸ κλονούμενον, κἀμὲ ἐχθροῦ ἐπηρείαις, ἐν τῷ φόβῳ στήριξον, Σάββα τοῦ Κτίσαντος.

Θεοτοκίον.
Ἀπειράνδρως τεκοῦσα, τὸν τοῦ παντὸς αἴτιον, καὶ μετὰ τὸν τόκον Παρθένος

ἄφθορος μείνασα, Θεοχαρίτωτε, φθοροποιῶν νοημάτων, τὴν ψυχήν μου λύτρῶσαι, τῇ σῇ χρηστότητι.

Διάσωσον τοὺς προσιόντας τῇ θήκῃ τοῦ σοῦ λειψάνου, πάσης βλάθης καὶ συμφορᾶς Σάββα Ὅσιε, ὡς δεδεγμένος τὴν χάριν παρὰ Κυρίου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.
Προστάτης θερμός, καὶ ἀντιλήπτωρ μέγιστος, καὶ σκέπη στερρά, τῶν Καλυμνίων πέφηνας· διὸ τὴν σὴν δοήθειαν, καθ᾽ ἑκάστην αἰτοῦμεν βοῶντές σοι. Μὴ παύσῃ διέπειν καὶ φρουρεῖν, ὦ Σάββα ἡμᾶς τοὺς σὲ γεραίροντας.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.
Βοηθὸς ἐν τοῖς θλίψεσι, καὶ ἐν τοῖς κινδύνοις ρύστῆς ὀξύτατος, Πάτερ Σάββα ἔσο πάντοτε, τοῖς εἰλικρινῶς σε μακαρίζουσι.

Βρύει χάριν ἀέναον, ἡ τοῦ σοῦ λειψάνου θήκη μυρίπνοος, καὶ ἰᾶται Σάββα Ὅσιε, τὰ δυσώδη πάθη θείῳ Πνεύματι.

Ἀσθενοῦσι τὴν ἴασιν, δίδου Πάτερ Σάββα ὡς συμπαθέστατος, καὶ κυβέρνα ἀσφαλέστατα, τοὺς ναυτιλλομένους τῇ σῇ χάριτι.

Θεοτοκίον.
Ἡλιόμορφε Δέσποινα, τὴν ἐσκοτισμένην ‘ψυχήν μου πάθεσι, τῇ πρεσβείᾳ σου καταύγασον, καὶ τῷ θείῳ φόθῳ με συνέτισον.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.
Μέγας ἀρωγός, ΚΚαλυμνίων ὤφθης Ἅγιε· διὰ τοῦτο ἀποδίωκε ἀεί, ἀφ᾽ ἡμῶν τὰ τοῦ ἐχθροῦ πικρὰ σκάνδαλα.

Ἴασαι δεινάς, ἀσθενείας Σάββα Ὅσιε, τῶν σπευδόντων τῇ ἁγίᾳ σου σορῷ. καὶ αἰτούντων τὴν ταχεῖάν σου ἀντίληψιν.

Νόσων χαλεπῶν, ψυχῆς ἅμα καὶ τοῦ σώματος, καὶ παντοίων θλιθερῶν ἐπιφορῶν, Πάτερ Σάββα ἀβλαθεῖς ἡμᾶς διάσωζε.

θεοτοκίον.

Σκέπη ἀσφαλής, τῶν ἀνθρώπων καὶ διάσωσμα, τῶν ποικίλων τοῦ ἐχθροῦ ἐπιβουλῶν, σκέπασόν με Θεοτόκε τὸν ἱκέτην σου.

ᾨδή ς΄. Τὴν δέησιν.
Ἡγίασεν, ἐν ἐσχάτοις σε χρόνοις, ὃν ἐδόξασας Θεὸν τῷ σῷ δίῳ, Σάββα θεόφρον· διὸ ἁγιάζεις, ἁγιασμῷ τοῦ ἁγίου λειψάνου σου, τοὺς τρυχομένους χαλεπῶς, ἐναγέσι παθήμασιν Ἄγιε.

Ναμάτων, πεπληρωμένος αὔλων, θεοδόξαστε Πατὴρ ἡμῶν Σάββα, καθάπερ ὕδωρ ζωῆς ἀναβλύζεις, τὸν γλυχασμὸν τῆς δοθείσης σοι χάριτος, καὶ τὴν πικρίαν τῶν δεινῶν, ἐξ ἡμῶν ἀπελαύνεις ἑκάστοτε.

Χειρί σου, τῇ πατρικῇ θεοφύρε, ἀσφαλῶς τοὺς ἔν θαλάσσῃ κυβερνά, καὶ δίδου εὔπλοιαν τούτοις παμμάκαρ, τρικυμιῶν καὶ κινδύνων ρυόμενος, καὶ ἔσο Σάββα νοερῶς, κυβερνήτης αὐτοῖς ἀσφαλέστατος.

Θεοτοκίον.
Ἀφράστως, τὸν Ποιητὴν τετοκυῖα, ἐκλυτρούμενον ἡμᾶς τῆς κατάρας, Εὐλογημένη Θεόνυμφε Κόρη, ἁμαρτανόντων θερμὸν ἱλαστήριον ἁμαρτιῶν μου τῶν πολλῶν, ἱλασὸν καὶ τὴν ἄφεσιν αἴτησαι.

Διάσωσον τοὺς προσιόντας τῇ θήκῃ τοῦ σοῦ λειψάνου, πάσης βλάθης καὶ συμφορᾶς Σάββα Ὅσιε, ὡς δεδεγμένος τὴν χάριν παρὰ Κυρίου.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμήνευτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.
Τῶν Καλυμνίων θερμῶς προϊστάμενος, ὡς δοξασθεὶς τῇ τοῦ Πνεύματος χάριτι, παρέχεις τοῖς χρήζουσι πάντοτε, τὴν σὴν ταχεῖαν ἐν πᾶσι ὀβοήθειαν· διό σε ὑμνοῦμεν Σάββα Ὅσιε.

Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ὁ ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον…

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις

ἐπιγινώσκει εἰμὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι. κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐξ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα.
Ταῖς τοῦ σοῦ “Οσίου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ο Θεός....
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι
Ἄστρον ὡς νεόφωτον, τῇ τοῦ Χριστοῦ Ἔκκλησίᾳ, ἐν ἐσχάτοις ἔτεσι, βίου καθαρότητι Πάτερ ἔλαμψας, καὶ φωτὶ Ὅσιε, τῶν σῶν θαυμασίων, ἀπελαύνεις τὴν σκοτόμαιναν, παθῶν καὶ θλίψεων, τῶν προσπελαζόντων τῇ σκέπῃ σου, καὶ νέμεις τοῖς αἰτοῦσί σε, χάριν καὶ ὑγείαν καὶ ἔλεος· διό σοι βοῶμεν. Μὴ παύσῃ ἱκετεύων τὸν Χριστόν, Σάββα θεόφρον μακάριε, ὑπὲρ τῶν τιμώντων σε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδή ζ΄. Οἱ ἐκ τῆς ᾿Ιουδαίας.
Ρέει ἄφθονος χάρις, ἐκ τοῦ θείου λειψάνου σου Σάββα Ὅσιε, καὶ παύει τὰς ὀδύνας. καὶ λύει ἀρρωστίας, καὶ παρέχει ἑκάστοτε, τοῖς προσιοῦσι πιστῶς, χαρὰν καὶ εὐφροσύνην.

᾿Ιατρεύσας τὴν χεῖρα, τὴν ξηρὰν τοῦ γυναίου τοῦ προσελθόντος σοι, ἰάτρευσον παμμάκαρ, κἀμοῦ τοῦ σοῦ ἱκέτου, τῆς ψυχῆς τὰ συντρίμματα. καὶ καχεξίας δεινάς, πικρῶς με τυραννούσας.

Νοσημάτων παντοίων, θεραπεύεις τοὺς πίστει σοι καταφεύγοντας, καὶ λύεις Πάτερ Σάββα, δεινὴν δυσηκοΐαν, καὶ ψυχῶν τὴν κατήφειαν, τῶν ἐκβώντων θερμῶς, τὸ θεῖον ὄνομά σου.

Θεοτοκίον.

Γνώρισόν μοι τὴν τρίβον, τὴν σωτήριον Κόρη ἐν ᾗ πορεύσομαι· δεινῶς γὰρ ἐπλανήθην, τῶν θείων ἐνταλμάτων, ἀλλὰ σύ μὲ ἀνθέλκυσον, καὶ πρὸς οδὸν ἀσφαλῆ, ἴθυνον τὴν ζωήν μου.

ᾨδή η΄. Τὸν Βασιλέα.
Ἔκ πάσης νήσου, τοὺς καταφεύγοντας Πάτερ, τῷ λειψάνῳ σου εὐλόγει οὐρανόθεν, καὶ χορήγει τούτοις, ὦ Σάββα τὰς αἰτήσεις.

Ῥῶσιν εὑρίσκει, πᾶς προσιὼν τῇ σῇ θήκῃ, Σάββα Ὅσιε καὶ οἴκοι ἐπιστρέφει, πλήρης εὐφροσύνης,  κηρύττων σοι τὴν χάριν.

Ἄνωθεν σκέπε, τὴν σὴν Μονὴν θεοφόρε, καὶ τὴν Κάλυμνον σύμπασαν τὴν σὴν νῆσον, ἣν παρὰ Κυρίου, ὡς σχοίνισμα ἐκτήσω.

Θεοτοκίον.
Σαρκὶ τεκοῦσα. τὸν Ὑπερούσιον Λόγον, ᾿Αειπάρθενε Μαρία Θεοτόκε, τοῦτον ἐκδησώπει, εἰρήνην δοῦναι κόσμῳ.

ᾨδή θ΄. Κυρίως Θεοτόκον.
᾿Ισχὺς ἡ προϊοῦσα, ἐκ τοῦ σοῦ λειψάνου, τὰς ἀσθενείας ἰᾶται ἑκάστοτε, τῶν προσιόντων σοι Σάββα θερμῆς ἐκ πίστεως.

Μὴ παύσῃ προστατεύων, ταύτης σου τῆς νήσου, τῆς πλουτησάσης τὸ θεῖόν σου λείψανον, καὶ κεκτημένὴς σε Σάββα μέγα προσφύγιον.

Ὁ μέγας τῆς Καλύμνου, ρύστης καὶ προστάτης, τοὺς Καλυμνίους τὰ τέκνα σου Ὅσιε, οἷα πατὴρ πάσῃ ὥρᾳ σκέπε φιλόστοργος.

Θεοτοκίον.
Ὑπέραγνε Μαρία. Κεχαριτωμένη, τοῦ Ποιητοῦ καὶ κτισμάτων μεθόριον, τῆς αἰωνίου με δόξης μέτοχον ποίησον.

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,
Χαίροις ᾿Εκκλησίας νέος ἀστήρ, τῆς Θράκης ὁ γόνος, καὶ Καλύμνου ἡ καλλονή, Σάββα θεοφόρε, Ἀγγέλων συμπολῖτα. καὶ πάντων τῶν ᾿Αγίων, ὁ ἰσοστάσιος.

Ὅλῃ τῇ καρδίᾳ καὶ τῇ ψυχῇ, Χριστὸν ἀγαπήσας, ὤφθης ἔνθους τῇ ἀρετῇ, καὶ σαὐτὸν καθάρας, προσύλου προσπαθείας, τοῦ Πνεύματος ἐγένου, σκεῦος πολύτιμον.

Βρύει τῶν λειψάνων σου ἡ σορός, χάριν ἰαμάτῶν, χορηγίᾳ τῇ θεϊκῇ, ὅθεν Πάτερ Σάββα, οἱ ταύτῃ προσιόντες, κομίζονται ὑγείαν, ψυχῆς καὶ σώματος.

Χαίροις τῆς Καλύμνου θεῖος πυρσός, καὶ Δωδεκανήσου, ἐγκαλλώπισμα ἱερόν, καὶ τῆς ἐν τῷ Ἄθῳ, Σκήτης Ἁγίας Ἄννης, βλαστὸς ὁ θεοφόρος, Σάββα πανόσιε.

Χαίρει ἡ Μονή σου ἣ ἱερά, ἔχουσα ἐν κόλποις, τοῦ λειψάνου σου τὴν σορόν, Σάββα θεοφόρε, καὶ εὐλαβῶς βοᾷ σοι. Οδήγει καὶ νῦν Πάτερ, ἡμᾶς πρὸς Κύριον.

Τοὺς ναυτιλλομένους καὶ ἐν μακρᾷ, πλέοντας θαλάσσῃ, διαφύλαττε ἀβλαβεῖς, καὶ τοῖς θλιθομένοις, καὶ πάσχουσι ποικίλως, δίδου ὦ Πάτερ Σάββα, τὴν σὴν βοήθειαν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν. εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τα ἑξῆς

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντας τοὺς προστρέχοντας πιστῶς, Πάτερ τῷ σεπτῷ σου λειψάνῳ, σκέπε καὶ φύλαττε, πάσης περιοτάσεως, καὶ πειρασμῶν χαλεπῶν, τοῖς ἐν βίῳ δὲ κάμνουσι, καὶ πάσχουσι μάκαρ, δίδου τὴν ἐκλύτρωσιν, ὡς συμπαθέστατος, πάντας δὲ τοὺς πλέοντας σκέπε, τῶν ἐν τῇ θαλάσσῃ κινδύνων, θεοφόρε Σάββα τῇ πρεσβείᾳ σου.

Δέσποινα πρόσδεξαι τάς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ. φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δί' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.
Ἀμήν.

Δίστιχον.
Δέξαι καὶ τήν δε παράκλησιν ὦ Σάββα
Ἣν εὐλαβῶς σοι Γεράσιμος προσάγει.